# TEZAUR LITURGIC

## 17 SEPTEMBRIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIȚE SOFIA,PISTIS, ELPIS ŞI AGAPIS DE LA ROMA

**ATENA,2010**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 17 Σεπτεμβρίου

# Ἀκολουθία Μαρτύρων ΣΟΦΙΑΣ, ΠΙΣΤΕΩΣ, ΕΛΠΙΔΟΣ καὶ ΑΓΑΠΗΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ὅλην σου τὴν ἔφεσιν, ἀπὸ καρδίας ἀνέθηκας, τῷ Σωτῆρι καὶ Κτίστῃ σου, Σοφία πανεύφημε· ἔνθεν θεοφρόνως, πολιτευομένη, ἀνάγεις φόβῳ θεϊκῷ, καὶ διατρέφεις πίστεως χάριτι, τριάδα τὴν ἀοίδημον, τῶν θυγατέρων σου πάνσεμνε, μεθ᾽ ὧν δόξης τῆς κρείττονος, ἐπαξίως τετύχηκας.

Παρθένοι νεάνιδες, φύσεως νόμῳ συνδούμενοι, καὶ σαφῶς κρατυνόμεναι, ἀπάπῃ τοῦ Κτίσαντος, τὸν δεσμὸν τῆς πλάνης, διέλυσαν πίστει, καὶ τὸν ἀνίσχυρον ἐχθρόν, ἀνδρειωθεῖσαι ποσὶ συνέτριψαν, καὶ νίκης διαδήματι, φωτοειδῶς ἐκοσμήθησαν, καὶ νυμφῶνα κατῴκησαν, νοητὸν ἀγαλλόμενοι.

Πίστις ἡ πανεύφημος, καὶ ἡ Ἀγάπη ἡ ἔνδοξος, καὶ Ἐλπὶς ἡ θεόσοφος, ἀρετῶν ἐπώνυμοι, τῶν φωτεινοτάτων, ἀναδειγμέναι, ἀθλητικῶς τὸν πονηρόν,

καταβαλοῦσαι τόν τήν Προμήτορα, δολίως ἀπατήσαντα, καί Παραδείσου τήν οἴκησιν, θεωθεῖσαι ἀπέλαβον, ὑπέρ πάντων πρεσβεύουσι.

Πυρός κατεφρόνησαν, καί πολυτρόπων κολάσεων, καί θανάτου αἱ πάνσεμναι· Νυμφίου τό κάλλος γάρ, τοῦ ὡραιοτάτου, πίστει ἐκζητοῦσαι, διά ποικίλων αἰκισμῶν, Πίστες, Ἐλπίς καί Ἀγάπη τε· δι' αὐτῶν ἡμᾶς Κύριε, τῶν δεινῶν ἐλευθέρωσον.

Δόξα. Ἦχος β΄.

Τῆς ἀληθοῦς σοφίας τῷ ἔρωτι, πάντα τά σά διεξάγουσα, καταλλήλως διέπρεψας, οἷα γυνή θεόφρον· ἐναρέτοις ἰδέαις γάρ, κοσμουμένη θεοφιλῶς, μαρτυρικήν χορείαν, Χριστῷ προσήγαγες, ἅς εὐσεβῶς ἐτιθήνησω, Σοφία μεγαλώνυμε· ὑπέρ αἴσθησιν γάρ ὤφθης, ὡς πλήρης γενναίου φρονήματος· διό λαμπρῶς δεδόξασαι, σύν ταῖς ἁγίαις κόραις σου.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σύ μου σκέπη κραταιά ὑπάρχεις, ὁ τριμερής Σταυρός τοῦ Χριστοῦ· ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καί πόθῳ, προσκυνῶ καί δοξάζω σε.

Εἰς τόν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἤλειψας ἀνδρικῶς, ῥήμασι εὐσεβείας, τάς τρεῖς σου θυγατέρας, Σοφία ἀθληφόρε, πρός μαρτυρίου σκάμματα.

Στ. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Βλέμματι μητρικῷ, ὁρῶσα ἐναθλούσας, τάς τρεῖς σου θυγατέρας, Σοφία τόν Σωτῆρα, ὑπέρ αὐτῶν ἱκέτευες.

Στ. *Τοῖς Ἁγίους τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Τάφῳ τῶν σῶν κλεινῶν, βλαστῶν περιχυθεῖσα, Σοφία εὐφροσύνως, ἀνέδραμες Κυρίῳ, δόξης τυχοῦσα κρείττονος.

Δόξα. Τριαδικόν.

Ἕνα Σε τοῦ παντός, Θεόν Τριάς Ἁγία, Σοφίας αἱ τρεῖς κόραι, Πίστις, Ἐλπίς, Ἀγάπη, μαρτυρικῶς ἐκήρυξαν.

Καί νῦν. Θεοτοκίον.

Χαίρουσαι τήν χαράν, τήν τοῦ Υἱοῦ Σου, Κόρη, αἱ τρεῖς ἁγναί παρθένοι, ἐνήθλησαν νομίμως, καί τόν ἐχθρόν κατήσχυναν.

Νῦν ἀπολύεις, Τριάγιον, Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Σοφία ἐκθρέψασα, κατά τήν κλῆσιν σεμνή, τάς τρεῖς θυγατέρας σου, ταύτας προσάγεις Χριστῷ, ἀθλήσεως σκάμμασιν· ὅθεν τῆς ἄνω δόξης, σύν αὐταῖς κοινωνοῦσα, πρέσβευε τῷ Σωτῆρι, καλλιμάρτυς Σοφία, δοῦναι τοῖς σέ τιμῶσι, χάριν καί ἔλεος.

Δόξα. Ἕτερον. Ἦχος πλ α΄. Τόν συνάναρχον Λόγον.

Ὡς ἐλαία κατάκαρπος ἀνεβλάστησας, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, Σοφία Μάρτυς σεμνή, καί προσήγαγες Χριστῷ καρπόν ἡδύτατον, τούς τῆς νηδύος σου βλαστούς, δι' ἀγώνων ἱερῶν, Ἀγάπην τε καί Ἐλπίδα, καί τήν θεόφρονα Πίστιν· μεθ' ὧν δυσώπει ὑπέρ πάντων ἡμῶν.

Καί νῦν. Τῆς Ἑορτῆς.

Σῶσον Κύριε τον λαόν Σου…

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Σοφίας τῆς θείας τῷ φωτί, ὡς ταύτης ἐπώνυμος, καταυγασθεῖσα θεόσοφε, μήτηρ καλλίτεκνος, Σοφία θεόφρον, ὤφθης καί περίδοξος, καρπόν καρποφορήσασα ἔνθεον, Χριστῶ τῷ Κτίστῃ σου, καί νομίμως ἐναθλήσασα, μαρτυρίου, δόξῃς ἐστεφάνωσαι.

Ὢ θαῦμα, πῶς ἤνεγκας στεῤῥῶς, τάς ὀδύνας βλέπουσα, τῶν εὐκλεῶν θυγατέρων σου, Σοφία πάνσεμνε, ὑπέρ τῆς ἀγάπης, τοῦ τῶν ὅλων Κτίσαντος·

ἀλλ᾽ ἔρωτι Χριστοῦ ἔξω γέγονας, νόμων φύσεως· μεθ᾽ ὧν ἤδη συγχορεύουσα, τῆς ἀλήκτου, τρυφᾶς ὡραιότητος.

Χορεία Μαρτύρων ἱερά, Ἀθληφόροι πάνσεμνοι, Σοφία ἡ μεγαλώνυμος, Πίστις ἡ ἔνδοξος, Ἐλπίς ἡ θεόφρον, καί Ἀγάπη πάντιμε, ὀσφράδια Χριστοῦ εὐωδέστατα, θύματα ἄμωμα, τοῦ τῶν ὅλων βασιλεύοντος, δυσωπεῖτε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὥσπερ μήτηρ θεόσοφος, τῷ Χριστῷ προσενήνοχς, τάς τρεῖς θυγατέρας σου, θείῳ ἔρωτι, καταβαλούσας τον τύῤαννον, Σοφία πανεύφημε, δι᾽ ἀθλήσεως στερρᾶς, καί αυτῶν περιστείλασα, τά σκηνώματα, σύν αὐταῖς τῆς ἀφθάρτου εὐκληρίας, καί τιμῆς τῆς τῶν Μαρτύρων, περιφανῶς κατηξίωσαι.

Τῆς σοφίας ταῖς χάρισι, κοσμουμένη θεόληπτε, εὐσεβείας δόγμασιν ἐγαλούχησας, τάς εὐκλεεῖς θυγατέρας σου, Ἐλπίδα καί Πίστιν τε, καί Ἀγάπην νουνεχῶς· καί καλῶς ἀναγόμεναι, ὑποθήκαις σου, μαρτυρίου ἀπήστραψαν ἀγῶσι, καί ἐδόξασαν Σοφία, Χριστοῦ τό ἅγιον ὄνομα.

Καί ξεσμῶν κατεφρόνησαν, καί τό πῦρ κατεπάτησαν, αἱ σεμναί νεάνιδες καί θεόφρονες, Χριστοῦ τῷ πόθῳ ῥωνύμεναι, ἡ Πίστις ἡ ἔνθεος, καί Ἐλπίς ἡ θαυμαστή, καί Ἀγάπη ἡ ἔνδοξος, καί Σοφία

δὲ, ἡ σοφή καί ἁγία τούτων μήτηρ, συναθλήσασα νομίμως, ταύταις ἀεί συναγάλλεται.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον τριφεγγής χορεία Μαρτύρων, τῇ Ἐκκλησίᾳ ἐκλάμπει, φωταγωγοῦσα τούς πιστούς· Πίστις γάρ καί Ἐλπίς καί Ἀγάπη, δίκην ἀστέρων φαεινῶν, ἡμῖν ἀνατέλουσι· καί σύν αὐταῖς ἀνίσχει, οἷα σελήνη πλησιφαής, ἡ τούτων ἁγία μήτηρ, Σοφία ἡ μεγαλώνυμος, παιδαγωγοῦσα ἡμᾶς τά κρείττονα· δεῦτε οὖν, τήν μνήμην αὐτῶν τελέσωμεν, ἐν εὐφροσύνῃ βοῶντες· χαίρετε τῶν ἀρετῶν ἐπώνυμοι, σεμναί Παρθενομάρτυρες, αἱ τήν ἁγνείαν τῇ ἀθλήσει πλέον δοξάσασαι· χαίρετε Πίστις, Ἐλπίς καί Ἀγάπη, τρίστυλον τῆς Ἐκκλησίας ἑδραίωμα· χαίροις Σοφία θεόσοφε, ῥίζα ἀγλαόκαρπε, ἀθλητικῆς εὐκαρπίας. Πρεσβεύσατε πρός Κύριον, ὑπέρ ἡμῶν δεόμεθα, Μάρτυρες ἔνδοξοι.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρός τοῦ Κυρίου, καί πιστοί εἰσδέχονται αὐτόν ἐκ πόθου, καί λαμβάνουσιν ἰάματα, ψυχῆς τε καί σώματος, καί πάσης μαλακίας. Αὐτόν ἀσπασώμεθα, τῇ χαρᾷ καί τῷ φόβῳ· φόβῳ διά τήν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δέ διά τήν σωτηρίαν, ἥν παρέχει τῷ κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγείς, Χριστός ὁ Κύριος, ὁ ἔχων τό μέγα ἔλεος.

Εἴσοος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. λα΄ 10-31).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ’ αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ.μγ΄9 - 14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας

προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει, φησίν ὁ Σολομών, τῆς θηλείας φύσεως, ἐννοῶν τό εὐόλισθον· ἀλλ' ἰδού πάρεστιν ἡμῖν, Σοφία ἡ οὐρανόφρον, πλήρης ἀνδρείου φρονήματος, πλήρης σοφίας καί χάριτος, ξενοπρεπῶς ἀριστεύσασα· τόν γάρ τύραννον ἐχθρόν, ἐντέχνως ὑπελθοῦσα, τάς μέν ἁγίας αὐτῆς κόρας, Πίστιν, Ἐλπίδα καί Ἀγάπην, ἀθλητικῶς Χριστῷ προσήγαγεν, ἑαυτήν δέ σοφῶς συνῆψε, τῇ τούτων χορείᾳ. Καί νῦν Κύριε Σωτήρ ἡμῶν, ταῖς τῶν Μαρτύρων Σου πρεσβείαις, παράσχου τῷ λαῷ Σου, εἰρήνην καί μέγα ἔλεος.

Ἦχος β'.

Δεῦτε ἅπαντες πιστοί, δεῦτε νοεροῖς θεασώμεθα ὄμμασιν, ἐν ἀσθενείᾳ θριαμβεύουσαν φύσεως, τοῦ Σταυροῦ τήν δύναμιν· ὢ τοῦ θαύματος! Ἁπαλαί κόραι νεάνιδες, χαλεπῶν κατατολμοῦσι βασάνων, καί πυρός

δριμύτητος· διό καί θαρσαλέως, τῷ διώκτῃ ἔλεγον· οὐκ ἀρνούμεθα Χριστόν, οὐ προκρίνομεν τύραννε, τά φθαρτά τῶν ἀφθάρτων. Ἀλλ’ ὦ στερραί Παρθενομάρτυρες, Πίστις, Ἐλπίς καί Ἀγάπη, σύν τῇ μητρί ὑμῶν Σοφία, τῇ σοφῶς ὑμᾶς προαγαγούσῃ, τῇ Ἁγίᾳ Τριάδι πρεσβεύσατε, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

Ἦχος γ΄.

Τῷ βίῳ οὖσα περιφανής, ἀναστροφαῖς ἁγίαις, πολλῷ πλέον περίβλεπτος ὤφθης, ἀθλητικῶς ἀριστεύσασα, Σοφία παμμακάριστε· οὐδέν γάρ σε ἐχώρισε, τῆς ἀγάπης τοῦ Χριστοῦ, γνώμῃ θεόφρονι· ἐν ᾗ παιδαγωγοῦσα, τάς ἰδίας θυγατέρας ἔλεγες· μή ἀποκάμητε ὦ τέκνα, τόν καλόν ἀγῶνα ἀγωνιζόμεναι· καί τελείας αὐτάς ἰδοῦσα Μάρτυρας, ἐν εὐφροσύνῃ τῷ Σωτῆρι ἐβόησας· δέξαι Κύριε τό πνεῦμα μου, ὁ δοξάζων τούς Σέ δοξάσαντας. Ἀλλ’ ὦ σεμναί Ἀθληφόροι, πρεσβεύσατε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Μαρτυρική χορεία, σήμερον πρόκειται εἰς ἔπαινον, παιδεύουσα ἡμᾶς οἰκείῳ ὑποδείγματι, τά ἄνω φρονεῖν καί ζητεῖν, τελείῳ φρονήματι· Σοφία γάρ ἡ πάνσοφος, καί οἱ ὡραῖοι αὐτῆς βλαστοί, Πίστις, Ἐλπίς καί Ἀγάπη, μαρτυρικόν ἠγωνίσαντο στάδιον, καί τόν Χριστόν ἐδόξασαν, οἰκείοις μέλεσι· καί νῦν τά ἄνω οἰκοῦσαι Βασίλεια, αἰτοῦνται πᾶσι τό μέγα ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τήν σήν ἁγίαν ἄθλησιν ἡ Ἐκκλησία τοῦ Θεοῦ, τοῖς σοῖς σεμνυνομένη προτερήμασι, χαρμοσύνως γεραίρει Μεγαλομάρτυς Σοφία· καί τῷ φωτί τῆς ἀθλήσεως, τῶν σῶν ἁγίων θυγατέρων ἐναγλαΐζεται, συνορῶσα ὑμῶν τάς ἀντιμισθίας, καί προβάλλουσα ὑμᾶς πρός μίμησιν· ὅτι πάντα σκύβαλα ἡγήσασθε, ἵνα Χριστόν κερδήσητε, τήν πηγήν τῆς ζωῆς. Αὐτόν καί ἡμῖν ἱλεώσασθε, Μάρτυρες ἔνδοξοι, πρός σωτηρίαν αἰώνιον.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τοῦ Τιμίου Σου Σταυροῦ Χριστέ τήν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τόν ἐνάντιον Ἀμαλίκ, ἐν τῇ ἐρήμῳ Σινᾶ· ὅτε γάρ ἐφήπλου τάς χεῖρας, Σταυροῦ τόν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός. Νυνί δέ τῶν πραγμάτων ἡ ἔκβασις, εἰς ἡμᾶς πεπλήρωται· σήμερον Σταυρός ὑψοῦται, καί δαίμονες φυγαδεύονται· σήμερον ἡ κτίσις πᾶσα, ἐκ φθορᾶς ἠλευθέρωται· πάντα γάρ διά Σταυροῦ, ἐπέλαμψεν ἡμῖν τά χαρίσματα· διό γηθόμενοι πάντες, προσπίπτομεν Σοι λέγοντες· ὡς ἐμεγαλύνθη τά ἔργα Σου, Κύριε δόξα Σοι.

Εἰς τόν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ἡ ἐν σοφίᾳ Θεοῦ, καί ἀρετῶν περιουσίᾳ καί χάριτι, κοσμήσασα τήν ζωήν σου, ὡς τῆς ἀγάπης Χριστοῦ, μηδέν τῶν ἐν κόσμῳ προτιμήσασα· ἐντεῦθεν

προσήγαγες, ὡς θυσίαν εὐπρόσδεκτον, Μάρτυς Σοφία, ἅς σεμνῶς ἐγαλούχησας, φόβῳ κρείττονι, καί τῆς πίστεως γάλακτι, Πίστιν καί τήν Ἐλπίδα τε, ἀθλήσεως σκάμμασι, καί τήν Ἀγάπην συμφώ-νως, οἵαπερ μήτηρ φιλόθεος· καί νῦν ἐκδυσώπει, σύν αὐταῖς δοῦναι τοῖς πᾶσι, πταισμάτων ἄφεσιν.

Στ. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, Μάρτυς Σοφία σεμνή, τόν τῶν μητέρων εὐκλεές ἐγκαλλώπισμα· Παρθένοι χαίρετε ἅμα, καί Ἀθληφόροι στερραί, Παρθενομαρτύρων ὡραΐσματα, ἡ Πίστις ἡ ἔνθεος, καί Ἐλπίς ἡ ἀήττητος, καί ἡ Ἀγάπη, ἡ ἀγάπης ἐπώνυμος, ἄνθη εὔοσμα, εὐωδίας τοῦ Πνεύματος· στήλαι θάρσους τῆς πίστεως, λαμπάδες τῆς χάριτος, τῆς ἀσεβείας ἡ πτῶσις, τῆς Ἐκκλησίας στηρίγματα· Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στ. *Τοῖς Ἁγίους τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαμάστωσεν ὁ Κύριος.*

Γνώμῃ ἀνδρειοτάτῃ σεμνή, καί οὐρανόφρονῃ ψυχῇ ὅτε ἔβλεψας, τάς κόρας σου τάς ἁγίας, τελειωθείσας καλῶς, καί καταβαλούσας τόν πολέμιον, τῷ τούτων προσέπεσας, τόν Σωτῆρα δοξάζουσα, ἁγίῳ τάφῳ, καί γηθοσύνως ἔδραμες, πρός οὐράνια, μετά δόξης σκηνώματα, ἔνθα περιχορεύουσα, Σοφία πανεύφημε, μετά τῶν σῶν

θυγατέρων, κάλλος ὁρῶσαι τό ἄφραστον, Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τῇ κλήσει ὑπέφηνας, τήν ἐσομένην σοι δόξαν, Σοφία Μάρτυς μεγαλώνυμε· σοφῶς ἐτιθήνησω γάρ, ἅς σεμνῶς ὠδίνησας, καί θυγατέρας Θεοῦ, κατά Δαβίδ αὐτάς ἀνέδειξας, υἱοθετήσασα δι' ἀθλήσεως· καί τοῖς ἴχνεσιν αὐτῶν, σαφῶς πορευθεῖσα, μαρτυρικόν ἀνεδήσω διάδημα. Καί νῦν πρεύσβευε σύν αὐταῖς, τῇ ὑπερθέῳ Τριαδι, σωθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τόν Ἀμαλήκ καταβαλών ἐτροπώσατο, καί Δαβίδ ὁ Μελωδός, ὑποπόδιόν Σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, Τίμιον Σταυρόν Σου Χριστέ ὁ Θεός, σήμερον ἁμαρτωλοί, προσκυνοῦντες χείλεσιν ἀναξίοις, Σέ τόν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμεν Σοι· Κύριε, σύν τῷ Ληστῇ τῆς Βασιλείας Σου ἀξίωσον ἡμᾶς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος δ'. Ταχύ προκατάλαβε.

Σοφία ἐκθρέψασα, κατά τήν κλῆσιν σεμνή, τάς τρεῖς θυγατέρας σου, ταύτας προσάγεις Χριστῷ, ἀθλήσεως σκάμμασιν· ὅθεν τῆς ἄνω δόξης, σύν αὐταῖς

κοινωνοῦσα, πρέσβευε τῷ Σωτῆρι, καλλιμάρτυς Σοφία, δοῦναι τοῖς σέ τιμῶσι, χάριν καί ἔλεος.

Δόξα. Ἕτερον. Ἦχος πλ α΄. Τόν συνάναρχον Λόγον.

Ὡς ἐλαία κατάκαρπος ἀνεβλάστησας, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, Σοφία Μάρτυς σεμνή, καί προσήγαγες Χριστῷ καρπόν ἡδύτατον, τούς τῆς νηδύος σου βλαστούς, δι’ ἀγώνων ἱερῶν, Ἀγάπην τε καί Ἐλπίδα, καί τήν θεόφρονα Πίστιν· μεθ’ ὧν δυσώπει ὑπέρ πάντων ἡμῶν.

Καί νῦν. Τῆς Ἑορτῆς.

Σῶσον Κύριε τον λαόν Σου…

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν Τάφον Σου, Σωτήρ.

Τετράφωτος λαμπάς, ἀνεδείχθητε κόσμῳ, ἀθλήσεως φωτί, τούς πιστούς φωταυγοῦσαι, Σοφία παμμακάριστε, σύν τρισί θυγατράσι σου· ὅθεν σήμερον, τήν φωταυγῆ ὑμῶν μνήμην, ἑορτάζοντες, ὑμνολογοῦμεν συμφώνως, ὑμῶν τά παλαίσματα.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ Τίμιος Σταυρός, ἡ πηγή τῶν χαρίτων, ὑψοῦται ἱερῶς, ἁγιάζων τόν κόσμον· προσέλθωμεν οὖν ἅπαντες, πρός αὐτόν μετά πίστεως, ἵνα λάβωμεν, ἰσχύν καί ῥῶσιν καί χάριν, πρός καθαίρεσιν, τῶν τοῦ βελίαρ παγίδων, Χριστόν μεγαλύνοντες.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχύ προκατάλαβε.

Ὡς μήτηρ φιλόθεος, καί πλήρης θείου φωτός, ἐνθέως προήγαγες, τούς σούς ἁγίους βλαστούς, Σοφία πανεύφημε· ὅθεν καί τοῖς σοῖς λόγοις, καρτερῶς ἐναθλοῦσαι, Πίστις σύν τῇ Ἐλπίδι, καί Ἀγάπῃ καθεῖλον, ἐν ἀσθενείᾳ φύσεως, ἐχθρόν τόν ἀόρατον.

Δόξα. Καί νῦν Ἑορτῆς. Ὅμοιον.

Σταυρόν προσκυνήσωμεν, ἐν εὐλαβείᾳ πολλῇ· ἐν τούτῳ γάρ ὕψωται, καθηλωθείς ὡς βροτός, Χριστός ὁ Θεός ἡμῶν, λύων τῶν Προπατόρων, τήν ἀρχαίαν κατάραν, νέμων δέ ἀφθαρσίαν, τοῖς πιστῶς ἐκβοῶσι· δοξάζομεν Πανοικτίρμον, Σταυρόν Σου τόν ἄχραντον.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὁμοφρόνως ἤθλησαν, αἱ τρεῖς σου κόραι, ἀρραγεῖ φρονήματι, Πίστις, Ἀγάπη καί Ἐλπίς, Σοφία Μάρτυς πανένδοξε· μεθ' ὧν δυσώπει, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Τόν Σταυρόν ὑψούμενον, ἐκ γῆς ταμείων, καί πιστοῖς παρέχοντα, ἁγιασμόν καί φωτισμόν, πᾶσα ἡ γῆ προσκυνήσωμεν, δοξολογοῦντες, Χριστοῦ τήν Ἀνάστασιν.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. κε΄1-13).

Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην. Ὁμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς

πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ὁ Ν΄(50) Ψαλμός.

Δόξα. Ταῖς τῶν Ἀθληφόρων…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός.*

Μαρτυρικῶς ἀριστεύσασαι, τό τῆς ταπεινώσεως σῶμα ὑπερέβητε, ἐν τῇ ἄνωθεν ῥοπῇ, Μάρτυρες ἔνδοξοι· καί ἀνυπύστοις αἰκισμοῖς ὁμιλήσασαι, λαμπαδηφόροι ἀνεληλύθατε, εἰς τόν νυμφῶνα τῆς ἄνω δόξης. Ἀλλ' ὦ Πίστις, Ἐλπίς καί Ἀγάπη, σύν τῇ μητρί ὑμῶν Σοφία, τῇ Τριάδι πρεσβεύσατε, ῥύεσθαι ἡμᾶς ἐπινοιῶν τοῦ ἀλάστορος.

Εἶτα, οἱ Κανόνες· τοῦ Σταυροῦ καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· *Τῆς Σοφίας ἀρίδηλα καὶ ἀγλαὰ τέκνα λιγαίνω. Θεοφάνους.*

Ὠδὴ α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος.

Τῆς ὑπερκοσμίου Σου Χριστέ, καὶ τῆς ἀφράστου σοφίας τὴν ἔλλαμψιν, δώρησαί μοι Δέσποτα, τὰς εὐπρεπεῖς καὶ εὐκλεεῖς Σου Μάρτυρας, ὅπως ἀνυμνήσω, τὰ τῆς Σοφίας βλαστήματα.

Ἡ προσηγορία σου σαφῶς, τῇ πολιτείᾳ θεόφρον κεκόσμηται· πᾶσαν διήνυσας, σοῦ τὴν ζωήν, τῷ τῆς σοφίας ἔρωτι, ἔνδοξε Σοφία, σοφίας λάμψασα χάρισι.

Σοῦ ὁ παμμακάριστος καρπός, τῆς ὑπερθέου σοφίας τρισσότητι, ἐγκαλλωπιζόμενος, ἀθλητικῶς ὑπὲρ ἐκείνης ἔλαμψε, πάνσοφε Σοφία, σοφίας θείας ἐπώνυμε.

Σῶμα καὶ ψυχὴν δι᾽ ἀρετῆς, ἐκκαθαρθεῖσαι παρθένοι νεάνιδες, τρεῖς Σοι προσηνέχθησαν, μαρτυρικῶς τῷ νοητῷ νυμφίῳ, Χριστέ, Πίστις σὺν Ἐλπίδι, καὶ ἡ Ἀγάπη ἡ ἔνδοξος.

Θεοτοκίον.

Ὅλην τὴν μορφήν μου προσλαβών, ὁ ἐν μορφῇ Θεοῦ πρὶν ἐννοούμενος, ὅλην ἀνεκαίνισεν, ἐν Σῇ γαστρὶ θεοπρεπῶς σκηνώσας Ἁγνή· ὅθεν Θεοτόκον, πιστοί Σε πάντες δοξάζομεν.

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Φωνῆς Σου ἀκούσασαι Χριστέ, καλοῦντος πρὸς ἀθάνατον, καὶ ἀπαθῆ ζωὴν ἠκολούθησαν,

στεφανηφόροι παρθένοι Μάρτυρες, τοῦ βοᾶν Σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου Σου δόξης Φιλάνθρωπε.

Ἰσχὺν ἐδωρήσατο Χριστός, ἑστώσαις πρὸ τοῦ βήματος, μαρτυρικοῦ ὑμῖν ὡς ὑπέσχετο, καὶ θεοπνεύστου σοφίας ἔπλησε, καὶ λαμπρὰς ἀνέδειξε, νικηφόρους Μάρτυρας, παρθενίας λαμπούσας τῇ χάριτι.

Ἠμβλύνατε νῦν τὸν δυσμενῆ, Παρθένοι τὸν μεγάλαυχον καὶ τὴν αὐτοῦ ὀφρὺν κατεβάλετε, μεγαλοφρόνως ἀγωνισάμεναι, καὶ τὸν πρὶν καυχώμενον, ἐξαλείφειν θάλασσαν, ταῖς ῥοαῖς τῶν αἱμάτων ἐπνίξατε.

Σοφίας τῆς ἄνωθεν Χριστοῦ, πλουσίως ἐμφορούμεναι, τῆς ἐκλεκτῆς Σοφίας καὶ ἔμφρονος, αἱ θυγατέρες αἱ τρεῖς κατῄσχυναν, τυραννούντων φρύαγμα, καὶ μανίαν ἄσχετον, ῥητορεύουσαι θεῖα διδάγματα.

Θεοτοκίον.

Ἁγίων τὸν Ἅγιον Χριστόν, ἁγίως ἀπεκύησας, ἁγιωσύνης ἅγιον σκήνωμα, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, ᾧ βοῶμεν, Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου Σου δόξης Φιλάνθρωπε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰς ψυχὰς δεσμευθεῖσαι πόθῳ Χριστοῦ, τῶν φθαρτῶν καὶ προσκαίρων τὴν καλλονήν, ἐν λήθῃ παρεδράμετε, ὡς τοῦ Λόγου μαθήτριαι, ἀσκητικῶς τὸ πρῶτον, τὰ πάθη νεκρώσασαι, καὶ ἀλγειναῖς βασάνοις, στερρῶς ἐναθλήσασαι· ὅθεν ὁ Δεσπότης, τῆς διπλῆς μαρτυρίας, στεφάνους ἐδωρήσατο, καὶ νυμφῶνος ἠξίωσε· Παμμακάριστοι Μάρτυρες, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Καὶ νῦν. Τοῦ Σταυροῦ. Ὁ αὐτός. Τὸ προσταχθὲν μυστικῶς.

Ἐν Παραδείσῳ με τὸ πρὶν ξύλον ἐγύμνωσεν, οὗπερ τῇ γεύσει ὁ ἐχθρὸς εἰσφέρει νέκρωσιν· τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον, ἐπάγη ἐπὶ τῆς γῆς, καὶ κόσμος ὅλος, ἐπλήσθη πάσης χαρᾶς· ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοί, συμφώνως ἀνακράζομεν· πλήρης δόξης ὁ οἶκός Σου.

ᾨδὴ δ'. Ὄρος Σε τῇ χάριτι.

Ῥωσθεῖσαι τῇ χάριτι, τῇ θείᾳ καλλίνικοι, Πίστις Ἀγάπη καὶ Ἐλπίς, τὰς τῶν τυράννων ἀπειλάς, ἀνδρείως κατῄσχυναν, διὰ πυρὸς ὁλοκαυτούμεναι πάνσοφοι, καὶ τῷ νυμφίῳ Χριστῷ προσαγόμεναι.

Ἴσχυσαν τοῦ Σταυροῦ, τῇ πανοπλίᾳ φραξάμεναι, Πίστις Ἀγάπη καὶ Ἐλπίς, τὰς τῶν κολάσεων πληγάς,

εὐτόνως αἱ Ἅγιαι, ὑπενεγκεῖν μέχρις αἱμάτων στερρότατα, πρὸς τὴν ἁμαρτίαν ἀντικαθιστάμεναι.

Δυνάμει καὶ πόθῳ τῆς Τριάδος ἐρρώσθησαν, Πίστις, Ἀγάπη καὶ Ἐλπίς, αἱ τῆς Τριάδος τῆς σεπτῆς, παρθένοι ἰσάριθμοι, καὶ ἀλγεινῶν τὴν δριμυτάτην ἐπίτασιν, ὑπενεγκεῖν αἱ πάνσεμνοι ἴσχυσαν.

Ἤσχυναν καὶ Κόραι, τρυφεραὶ τοῦ ἀλάστορος, διὰ τοῦ ὅπλου τοῦ Σταυροῦ, τὴν ὑπερήφανον ὀφρύν, καὶ πρὸς γῆν κατέβαλον, περιφανῶς τὸν πρὶν ἀμέτρως καυχώμενον, τὴν οἰκουμένην πᾶσαν καταλήψεσθαι.

Λαμπάδες τρισάριθμοι, σοφίας ἀστράπτουσαι, Πίστις Ἀγάπη καὶ Ἐλπίς, τοῖς τῆς Τριάδος φωτισμοῖς, σαφῶς λαμπρυνόμεναι, διαφανῶς τὰς Ἐκκλησίας φωτίζουσι, πρός σωτηρίαν ἡμῶν καὶ ἀντίληψιν.

Θεοτοκίον.

Ἁγίων Ἁγία, Θεοτόκε πανύμνητε, ἡ προσδοκία τῶν ἐθνῶν καὶ σωτηρία τῶν πιστῶν, ἐκ Σοῦ ἀνατέταλκεν, ὁ λυτρωτὴς καὶ ζωοδότης καὶ Κύριος, εἰς σωτηρίαν τῶν ὑμνούντων Σε.

ᾨδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Καρτερίᾳ τῶν φρενῶν, τὰς βασάνους ὑπέμειναν, καὶ σοφίας τῆς ἐνθέου λαλοῦσαι μυστήρια, τὸν κρατοῦντα ᾔσχυναν, αἱ τρεῖς Παρθένοι θεοφόροι, πίστει καὶ φύσει συνδούμεναι.

Ἀγάλλεται ἡ Προμήτωρ, ὁρῶσα νικώμενον τὸν δόλιον, τὸν αὐτὴν ἐξ Ἐδὲμ ἐξορίσαντα, γυναιξὶ θεόφροσιν Ἐλπίδι, Πίστει καὶ Ἀγάπῃ, τοῖς τῆς Σοφίας γεννήμασι.

Ἰοβόλους τοῦ τυράννου, θωπείας ἐξέφυγον, καὶ βασάνων τὰς πληγὰς ἑκουσίως ὑπέμειναν, αἱ σεμναὶ νεάνιδες τῇ Σῇ ἀγάπῃ τετρωμέναι, Χριστὲ καὶ θείῳ Σου ἔρωτι.

Θεοτοκίον.

Ἀγάλλονται οὐρανῶν, αἱ Δυνάμεις ὁρῶσαί Σε, εὐφραίνονται σὺν αὐτοῖς τῶν βροτῶν τὰ συστήματα· τῷ γὰρ τόκῳ ἥνωνται τῷ Σῷ, Παρθένε Θεοτόκε, ὃν ἐπαξίως δοξάζομεν.

Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

Γηθόμεναι ταῖς Σαῖς ἀχράντοις Δέσποτα, παλάμαις ἐναπέθεντο, τὰς ἐλπίδας, αἱ Νεάνιδες αἱ τρεῖς, καὶ τῆς Τριάδος τρισμακάριαι, τῷ ἀριθμῷ τετιμημέναι καὶ σεμνυνόμεναι.

Λαμπόμεναι τῆς παρθενίας κάλλεσι, Μαρτύρων διαδήμασιν, ἐκοσμήθησαν, καὶ στέφανον διπλοῦν, ἄνωθεν ἀξίως ἐκομίσαντο, παρὰ Χριστοῦ, τοῦ Ζωοδότου καὶ Πανοικτίρμονος.

Ἀνήχθησαν ἐν τῷ ναῷ Σου Δέσποτα, τοῦ πάντων βασιλεύοντος, παρθενεύοντα κειμήλια σεπτά, Σοῦ τῆς

Βασιλείας κοινωνήσοντα· Σὺ γὰρ αὐτῶν, καὶ φῶς ὑπάρχεις καὶ ἀγαλλίαμα.

Θεοτοκίον.

Ἀγάλλονται ἐν Σοὶ Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ Σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν· Σὺ γὰρ Ἁγνή, καὶ πρὸ τοῦ τόκου καὶ μετὰ γέννησιν.

Κοντάκιον. Ἦχος α΄. Χορός ἀγγελικός.

Σοφίας τῆς σεμνῆς, ἱερώτατοι κλάδοι, ἡ Πίστις καί Ἐλπίς, καί Ἀγάπη δειχθεῖσαι, σοφίαν ἀπεμώραναν, τῶν Ἑλλήνων ἐν χάριτι, καί ἀθλήσασαι, καί νικηφόροι φανεῖσαι, στέφος ἄφθαρτον, παρά τοῦ πάντων Δεσπότου, Χριστοῦ ἀνεδήσαντο.

Ὁ Οἶκος.

Ὅτε εἰς πάντα τά πέρατα, τό ἀθέμιτον ἐξελήλυθε πρόσταγμα, θύειν εἰδώλεις καί σπένδεσθαι καί βωμούς δαιμόνων καί ναούς εὐτρεπίζεσθαι, πρός ἀνθρώπων ἀπώλειαν, τότε αἱ πανεύφημοι καί καλλιπάρθενοι, ὡς ἀστέρες ἐξέλαμψαν, ζόφον ἀθεΐας καί ἀγνωσίας ἐλαύνουσαι καί φέγγος εὐσεβείας, ἐν ταῖς καρδίαις τῶν πιστῶν ὑπανάπτουσαι, τρανῶς ἀνεβόων· Θεός μέγιστος ἐστίν ὁ σταυρωθείς βουλήματι καί ἀναστάς τριήμερος, ἐν ᾧ καί καυχώμεθα· ὅθεν καί ἐπαξίως στέφος ἄφθαρτον παρά Χριστοῦ ἀνεδήσαντο.

Συναξάριον.

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Μάρτυρος Σοφίας καὶ τῶν θυγατέρων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης.

Στίχοι·

*Τῇ πρὸς Σὲ πίστει Πίστις, Ἐλπίς, Ἀγάπη,*

*αἱ τρεῖς Τριάς, κλίνουσιν αὐχένας ξίφει.*

*Ἑβδόμῃ τε δεκάτῃ Ἀγάπην τάμον, Ἐλπίδα, Πίστιν.*

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

ᾨδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Τρισοφεγγεῖ ἑνιαίᾳ χάριτι, καταλαμπόμεναι σαφῶς. αἱ παρθένοι δαιμονικήν, ἔλυσαν σκοτόμαιναν, φῶς τὸ τρισυπόστατον, θεολογοῦσαι καὶ μέλπουσαι· Ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἐν οὐρανοῖς τὰς παστάδας ἔχουσαι, λαμπαδηφόροι τὰς ψυχάς, σὺν Ἀγγέλοις χαρμονικῶς, νῦν περιχορεύετε, δόξαν τὴν ἀΐδιον συνθεωροῦσαι καὶ μέλπουσαι· Ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Καρτερικὴν ὡς οἱ Παῖδες ἔνστασιν, ἐπιδειξάμεναι τὸ πῦρ, κατεπάτησαν ἀνδρικῶς· τούτων γὰρ ἰσάριθμοι,

γνώμην ἰσοστάσιον, αἱ θεοφόροι ἐκτήσαντο. τὸν αἰνετὸν τῶν Πατέρων ἀεὶ Θεὸν δοξάζουσαι.

Θεοτοκίον.

Νέμοις, Ἁγνή, τῶν πταισμάτων ἄφεσιν, τοῖς ἀνυμνοῦσί Σε πιστῶς, λυτρουμένη τῶν πειρασμῶν, πάσης περιστάσεως· Σὲ γὰρ νῦν κεκτήμεθα, καταφυγὴ Θεονύμφευτε, ὡς αἰνετὸν τῶν Πατέρων Θεὸν χερσὶ βαστάσασα.

ᾨδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Αἱ παρθένοι αἱ θεοφεγγεῖς, Πίστις, Ἐλπίς, Ἀγάπη, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ ἀπέστιλβον λέγουσαι· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λαμπομένας καὶ φωτοειδεῖς, διὰ τοῦ μαρτυρίου προδήλως γεγενημένας, τάς παρθένους οἱ πιστοὶ ὑμνήσωμεν λέγοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἰαμάτων ῥεῖθρον δαψιλως, ἀφθόνως καὶ πλουσίως αἱ θῆκαι τῶν ἀθληφόρων, ἀναβρύουσιν ἀεί, τοῖς πιστει κραυγάζουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Γῆ ἁγία πέφηνας Ἁγνή, τὸν ζωηφόρον στάχυν, τεκοῦσα τῆς ἀΐδίου, ζωῆς πρόξενον Χριστόν, ᾧ πάντες κραυγάζομεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας Σου.

Αἴγλης τριφεγγοῦς πληρούμεναι, καὶ λαμπηδόνος θείας νῦν ἐμφορούμεναι, αἱ ὁμώνυμοι, τῶν ἀρετῶν καὶ φερώνυμοι, τῆς Ἀγάπης, Ἔριδος καὶ Πίστεως, ἐλπίδι καὶ ἀγάπῃ, ἡμᾶς καὶ πίστει βεβαιώσατε.

Ἵνα ἡ ἐξ ὕψους δύναμις, νῦν κατευνάσῃ τὸν κατέχοντα κλύδωνα, τῆς αἱρέσεως, ὦ Ἀθληφοροι ἀήττητοι. καὶ βραβεύσῃ πιστοῖς τὴν ὁμόνοιαν, αἰτεῖσθε δυσωποῦμεν, ἀκαταπαύστως καλλιπάρθενοι.

Νύκτα τὴν τοῦ βίου, πάνσοφοι, διαδραμοῦσαι τὴν ἡμέραν ἐφθάσατε τὴν ἀνέσπερον, μαρτυρικῶς ἀγαλλόμεναι, καὶ παρθένων καυχώμεναι χάριτι, καὶ θείας Βασιλείας, τῆς ἀκηράτου ἀξιούμεναι.

Θεοτοκίον.

Ὢ πῶς ἡ Παρθένος τέτοκε! τὸν ἀεὶ ὄντα Λόγον καὶ ἐνυπόστατον, τὸ ἀπαύγασμα τῆς Πατρικῆς ὑποστάσεως, τὸν ἡμῶν εὐεργέτην καὶ Κύριον, ἐξ Αὐτῆς σαρκωθέντα, Ὅν ἐπαξίως μεγαλύνομεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σοφίαν τήν θεόφρονα, τῶν γυναικῶν τό καύχημα, καί τῶν Μαρτύρων τό κλέος, σύν ταῖς τρισίν αὐτῆς κόραις, συμφώνως εὐφημήσωμεν, Πίστιν καί τήν Ἐλπίδα τε, καί τήν Ἀγάπην φίλαθλοι, ὡς εὐωδέστατα κρίνα, τοῦ νοητοῦ Παραδείσου.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὑψοῦντες τόν πανάγιον, Σταυρόν Σου Παντοδύναμε, ὕμνον μεθέορτον Σῶτερ, τῇ τούτου θείᾳ ὑψώσει, προσάδομεν βοῶντες Σοι· σκέπε ἡμᾶς καί φύλαττε, τῇ τούτου θείᾳ χάριτι, ἐκ τῶν βελῶν τοῦ βελίαρ, τῶν καθ’ ἡμῶν πεμπομένων.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Κλήσει κοσμουμένη εὐκλεεῖ, ταύτην λαμπροτέραν εἰργάσω, Σοφία ἔνδοξε, βίου καθαρότητι, καί πολιτείᾳ σεμνῇ, καί Μαρτύρων τῇ χάριτι, καί σοφῇ παιδείᾳ, πίστεως τοῖς δόγμασι, τῶν θυγατέρων τῶν σῶν. Ὅθεν σύν αὐταῖς ἐκδυσώπει, ῥύεσθαι ἡμᾶς πάσης βλάβης, τούς εἰλικρινῶς ὑμᾶς γεραίροντας.

Ὅτε ὁ ἐχθρός ὁ δυσμενής, ἐκ τῶν μητρικῶν ἀγκαλῶν σου, οἷαπερ λύκος δεινός, ὡς ἀμνάδας ἥρπασε, τάς θυγατέρας σου, τότε σπεύδουσα ἔνδοξε, μητρώοις ἐν λόγοις, ταύτας παρεθάρρυνας, πρός τό

μαρτύριον· ὅθεν τήν λαμπράν αὐτῶν νίκην, ἔνδοξε Σοφία ἰδοῦσα, ὕμνοις τόν Σωτῆρα ἐμεγάλυνας.

Χαίροις τῶν Παρθένων ἡ τριάς, τῆς θεοτιμήτου Σοφίας, θεῖα βλαστήματα, Πίστις ἡ πανεύφημος, Ἐλπίς ἔνδοξος, καί Ἀγάπη ἡ πάνσοφος, αἱ πικρῶν βασάνων, ἁπαλῷ ἐν σώματι, κατατολμήσασαι· ὅθεν τῷ φωτί τῆς Τριάδος, ἤδη συγχορεύουσαι ἅμα, ῥύσασθε ἡμᾶς παθῶν ζοφώσεως.

Τάφῳ τῶν ἁγίων σου βλαστῶν, τόν σόν ἐκτελέσασα δρόμον, ἐν θεολήπτῳ ψυχῇ, προσπεσοῦσα ἔνδοξε, χαίρουσα ἔδραμες, πρός τήν ἄνω λαμπρότητα, σύν ταῖς θυγατράσι, Πίστει καί Ἐλπίδι τε, καί τῇ Ἀγάπῃ ὁμοῦ, βλέπουσα τήν ἄρρητον δόξαν, καί ἡμῖν Σοφία αἰτοῦσα, σύν αὐταῖς πταισμάτων τήν συγχώρησιν.

Δόξα. Ἦχος πλ. α΄.

Ἡ Σοφία τοῦ Θεοῦ, ὁ συναΐδιος Λόγος τοῦ Πατρός, λόγον καί σοφίαν καί δύναμιν ὑμῖν παρέσχετο, ὡς ἐπηγγείλατο Μάρτυρες· ὅθεν ἰσχύϊ ἀηττήτῳ, καί ἄθλοις στεῤῥοτάτοις, καί θεοπνεύστῳ παῤῥησία, ἐν ἁπαλῷ σώματι, τόν ἰσχυρόν ἐν κακίᾳ κατηγωνίσασθε, τοῦ μαρτυρίου τόν δρόμον, καλῶς ἀνύσασαι. Ἀλλ' ὦ Παρθενομάρτυρες ἔνδοξοι, Πίστις, Ἐλπίς καί Ἀγάπη, καί ἡ ἁγία ἡμῶν μήτηρ, Σοφία ἡ θεόσοφος, τῆς Ἐκκλησίας τετράστυλον στήριγμα,, τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ πρεσβεύσατε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Και νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Χαίρετε λαοί, τό παράδοξον θαῦμα καθορῶντες, τοῦ Σταυροῦ τήν δύναμιν προσκυνήσωμεν· ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησε, τό δέ τήν ζωήν ἐξήνθησε, ἀναμάρτητον ἔχον, προσηλωμένον τόν Κύριον, ἐξ' οὗ πάντα τά ἔθνη, ἀφθαρσίαν τρυγῶντες κραυγάζομεν· ὁ διά Σταυροῦ θάνατον καταργήσας, καί ἡμᾶς ἐλευθερώσας, δόξα Σοι.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις ὦ Σοφία Μάρτυς Χρσιτοῦ, σύν ταῖς θυγατράσιν, ἀθλησάσαις περιφανῶς, Πίστει καί Ἐλπίδι, ὁμοῦ καί τῇ Ἀγάπῃ, τετράφωτος λυχνία, τῆς θείας πίστεως.

Δίστιχον.

*Σοφίαν ὁμοῦ καιίτάς τρεῖς θυγατέρας,*

*Γεράσιμος ὕμνησε πίστεως λόγοις.*

